wird Athens Lage zur Zeit des Ausbruches des olynthischen Krieges in charakteristischen Zügen also geschildert: συμβάντος τῇ πόλει καιροῦ τοιούτου καὶ πολέμου ἐν ᾧ ἦν ἢ κρατήσασιν ἡμῖν μεγίστοις τῶν Ἑλλήνων εἶναι καὶ ἀναμφισβητήτως τά τε ὑμέτερα αὐτῶν κεκομίσθαι καὶ καταπεπολεμηκέναι Φίλιππον ἢ ὑστερήσασι τῇ βοηθείᾳ καὶ προεμένοις τοὺς συμμάχους, δι' ἀπορίαν χρημάτων καταλυθέντος τοῦ στρατοπέδου, τούτους τ' ἀπολέσαι καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀπίστους εἶναι δοκεῖν καὶ κινδυνεύειν περὶ τῶν ὑπολοίπων, περί τε Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου καὶ Χερρονήσου, καί μελλόντων στρατεύεσθαι ὑμῶν πανδημεὶ εἴς τε Εὔβοιαν καὶ Ὄλυνθον, ἔγραψε ψήφισμα ἐν τῇ βουλῇ Ἀπολλόδωρος βουλεύων καὶ ἐξήνεγκε προβούλευμα εἰς τὸν δῆμον, λέγων διαχειροτονῆσαι τὸν δῆμον εἴτε δοκεῖ τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι εἴτε θεωρικά, κελευόντων μὲν τῶν νόμων, ὅταν πόλεμος ᾖ, τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι κτλ.

Aus dieser Stelle, verbunden mit einigen Angaben der Rede gegen Meidias, geht zunächst hervor, dass die Athener, nachdem sie mit Olynth den Bundesvertrag geschlossen und ihr Ansehen auf dem Spiele stand, wenn sie ihren Bundesgenossen nicht Hilfe brächten, zugleich Krieg auf Euboea zu führen hatten, und sie lassen wenigstens die wichtigsten Ereignisse dieses Krieges und ihre Aufeinanderfolge noch erkennen. Plutarch, der Tyrann von Eretria, hatte von Athen Hilfe gegen seine Gegner begehrt und sie ward ihm auf Verwendung des Meidias und seiner Freunde gegen Demosthenes' Rath zugesagt. Zu diesem Zwecke wurden freiwillige Trierarchen aufgerufen (§ 11); es war dies der zweite Fall derartiger Trierarchie [1] und damals war es wohl auch, dass Apollodoros, um für so weitausschauende Unternehmungen die Mittel flüssig zu machen,

[1] Rede g. Meidias 161 S. 566, 23: ἐγένοντ' εἰς Εὔβοιαν ἐπιδόσεις παρ' ὑμῖν πρῶται. τούτων οὐκ ἦν Μειδίας, ἀλλ' ἐγώ, καὶ συντριήραρχος ἦν μοι Φιλῖνος ὁ Νικοστράτου. ἕτεραι δεύτεραι μετὰ ταῦτα εἰς Ὄλυνθον. οὐδὲ τούτων ἦν Μειδίας. καίτοι τόν γε δὴ φιλότιμον πανταχοῦ προσῆκεν ἐξετάζεσθαι. τρίται νῦν αὗται γεγόνασιν ἐπιδόσεις· ἐνταῦθ' ἐπέδωκεν. πῶς; ἐν τῇ βουλῇ γιγνομένων ἐπιδόσεων παρὼν οὐκ ἐπεδίδου τότε. ἐπειδὴ δὲ πολιορκεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάντας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, ὧν εἷς οὗτος ἦν, προεβούλευσεν ἡ βουλή, τηνικαῦτα φοβηθεὶς τὴν στρατείαν ταύτην, εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν, πρὶν καὶ προέδρους καθίζεσθαι, παρελθὼν ἐπέδωκεν . . . (§ 163) οὐκ ἀνέβαινεν ἐπὶ τὴν ναῦν ἣν ἐπέδωκεν, ἀλλὰ τὸν μέτοικον ἐξέπεμψε τὸν Αἰγύπτιον, Πάμφιλον, αὐτὸς δὲ μένων ἐνθάδε τοῖς Διονυσίοις διεπράττετο ταῦτ' ἐφ' οἷς νυνὶ κρίνεται κτλ.